# 25 IULIE

# SLUJBA SF.CUVIOASE OLIMPIADA DE LA CONSTANTINOPOL SI EUPRAXIA DE LA THEBAIDA

## MINEIUL-GR


Η ΑΓΙΑ
ΟΛΥΜΠΙΑΣ


Η ΑΓΙΑ
ΕΥΠΡΑΞΙΑ
Η ΑΓΙΑ ΕΥΠΡΑΞΙΑ ΟCΙΑ 25 ΙΟΥΛΙΟΥ

# ΙΟΥΛΙΟΣ 25
# ΟΛΥΜΠΙΑΣ ΔΙΑΚΟΝΙΣΣΑ & ΕΥΠΡΑΞΙΑ ΟΣΙΕΣ
# ΑΚΟΛΟΥΘΙΑ

*(π. Νεκτάριος Μαμαλοῦγκος)*

## ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, γ' τῆς Ὀκτωήχου, καὶ γ' τῆς Ὁσίας. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τοῦ μυστολέκτου προφήτου καὶ διδασκάλου ἡμῶν, τὴν φοιτητὴν ἐν ὕμνοις, Ὀλυμπιάδα συμφώνως, τιμήσωμεν ἀξίως καὶ σὺν αὐτῇ, εὐφημοῦντες τὴν σώφροναν, καὶ ἱερὰν Εὐπραξίαν, ὡς τῷ Χριστῷ, δυσωπούσα τοῦ σωθῆναι ἡμᾶς.

Τῆς εὐσεβείας τὸν γόνον καὶ ἐγκαλλώπισμα, μοναζουσῶν ὡς οὖσαν, ἐν ᾠδαῖς ἐπαξίως, τιμήσωμεν συμφώνως πάντες πιστοί, Εὐπραξίαν τὴν σώφρονα, ὡς δυσωποῦσαν τὸν Κτίστην ὑπὲρ ἡμῶν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σὺ τὸν ἐπίγειον κόσμον ἐκδυσάμενη καλῶς, τὴν ἀγαθὴν μερίδαν ἐξελέξω θεόφρον, ἣν εὗρεν ἡ Μαρία καὶ πάντα εὐθύς, καταλιποῦσα τὰ πρόσκαιρα, δι'

ἀρετῆς ἐκομίσω τὸν νοητόν, μαργαρίτην τὸν πολύτιμον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θεομακάριστε Κόρη τὰς ἱκεσίας ἡμῶν, ὡς εὐμενὴς προστάτις, τῶν πιστῶν Θεοτόκε, προσάγουσα τῷ Κτίστῃ τὸν ἱλασμόν, ἀνταμείβου τοῖς δούλοις Σου, ὡς παντελὴς σωτηρία καὶ ἱλασμός, τῶν ψυχῶν ἡμῶν πανάμωμε.

*Ἢ Σταυροθεοτοκίον. Πανεύφημοι Μάρτυρες*

Ῥομφαία διῆλθεν ὦ Υἱέ, ἡ Παρθένος ἔλεγεν, ἐπὶ τοῦ ξύλου ὡς ἔβλεψε, Χριστὸν κρεμάμενον, τὴν ἐμὴν καρδίαν, καὶ σπαράττει Δέσποτα, ὡς πάλαι Συμεὼν μοι προέφησεν, ἀλλὰ ἀνάστηθι, καὶ συνδόξασον Ἀθάνατε, τὴν Μητέρα, καὶ δούλην σου δέομαι.

*Καὶ τὰ λοιπὰ τῆς Ὀκτωήχου.*

*Ἀπολυτίκιον τῆς Ὁσίας Εὐπραξίας. Ἦχος δ'. Ταχὺ προκατάλαβε*

Ἐκ βρέφους ποθήσασα τὸν σὸν Νυμφίον Χριστόν, τὸν κόσμον κατέλιπες, καὶ τα τοῦ κόσμου τερπνά, καὶ ἤσκησας ἄριστα, ἄϋλον γὰρ ἐν ὕλῃ, ἐπιδείξασα βίον, εἴληφας Εὐπραξία, οὐρανῶν βασιλείαν, ἐν ᾗ νῦν αὐλιζομένη, μνήσθητι τῶν τιμώντων σε.

*Ἀπολυτίκιον τῆς Ὁσίας Ὀλυμπιάδος. Ὅμοιον.*

Τὸν πλοῦτον σκορπίσασα τὸν σὸν τελείῳ νοΐ, Χριστῷ ἠκολούθησας δι’ ἐναρέτου ζωῆς, Ὁσία πανεύφημε, σὺ γὰρ ἐφεπομένη, τῷ σοφῷ Χρυσοστόμῳ, χρύσεον

ὤφθης σκεῦος, τῆς Χριστοῦ Ἐκκλησίας, διό σε Ὀλυμπιάς, ὁ Κύριος ἐδόξασε.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

Ὁ Κανών, ποίημα Ἰωσήφ.

*Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὑγρὰν διοδεύσας.*

Σαρκὸς ἀσθενείᾳ τὸν δυνατόν, ἐχθρὸν καθελοῦσαι, ᾠκειώθητε τῷ Χριστῷ, Ὁσίαι γυναῖκες δυσωποῦσαι, δύναμιν πᾶσιν δοθῆναι σωτήριον.

Ἐτρώθητε κάλλει τοῦ ἐραστοῦ, καὶ τούτου ὀπίσω ἐκολλήθητε ψαλμικῶς, κατακολουθοῦσαι ζωηφόροις, ἴχνεσιν ὅθεν τὸν ὄφιν ἐκτείνατε.

Μαράνασαι πόνοις ἀσκητικοῖς, τοῦ σώματος κάλλη ὡραιώθητε τὰς ψυχάς, καὶ Χριστῷ Νυμφίῳ εἰς θαλάμους, ὡραιοτάτους σεμναὶ συνεισήλθετε.

*Θεοτοκίον.*

Νυμφὼν ἀνεδείχθη φωτοειδής, ἡ μήτρα Σου Κόρη τοῦ δι᾽ οἶκτον σωματικῶς, ἐκ Σοῦ σαρκωθέντος καὶ τὰ πάντα, θεογνωσίας ἀκτῖσι φωτίσαντος.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὑπερεῖδες τὸ κάλλος τοῦ ταπεινοῦ σώματος, καὶ τὴν παρρῤῥέουσαν δόξαν ὄναρ λελόγισαι, ἐν ταπεινώσει δέ, Ὀλυμπιὰς καὶ νηστείᾳ, τὸν Θεὸν ἐζήτησας, ἀειμακάριστε.

Νηπιάζουσα ἔτι τὸν δι᾽ ἡμᾶς νήπιον, Λόγον ἐπὶ γῆς Εὐπραξία, ἐπιθυμήσαντα, πίστει ἐπόθησας, καὶ τῷ Αὐτοῦ χαρακτῆρι, τὴν ψυχὴν συνέδησας, ἄτρεπτος μείνασα.
Ἀπηρνήσασθε κόσμον καὶ τῆς σαρκὸς φρόνημα, καὶ δι᾽ ἐγκρατείας καὶ πόνων, Θεὸν ἐκτήσασθε, Νυμφίον ἄχραντον, ἐπουρανίου παστάδος, θείαν παρεχόμενον ὑμῖν εἰσοίκησιν.

*Θεοτοκίον.*

Ἱερῶν Προφητῶν Σε αἱ ἱεραὶ σάλπιγγες, πάλαι προεμήνυον πύλην, φωτὸς γενήσεσθαι, καὶ τόμον ἔμψυχον, ἐν ᾧ χειρὸς ἄνευ λόγος, ὑπὲρ λόγον ἄχραντε, Κόρη γραφήσεται.

*Κάθισμα. Τὸ προσταχθὲν μυστικῶς.*

Ταῖς προσευχαῖς ταῖς μυστικαῖς ἐπαγρυπνοῦσαι, καὶ ἡδυνθεῖσαι ταῖς Γραφαῖς ταῖς θεοπνεύστοις, Ὀλυμπιὰς καὶ Εὐπραξία αἱ ἀοίδιμοι, ἐπ᾽ ὤμων τὸν τοῦ Κυρίου ἦραν Σταυρόν, καὶ τούτῳ ἀκολουθοῦσαι ἀσκητικῶς, ἅπασαν πλάνην τοῦ ὄφεως, καθεῖλον κράζουσαι Χριστῷ· Νυμφίε ἐπουράνιε, Σὺ γενοῦ ἡμῶν στήριγμα.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον.*

Τὸν ἀναλλοίωτον Θεὸν ἡ τετοκυῖα, ἀλλοιουμένην εἰς ἀεὶ τῇ ἁμαρτίᾳ, ταῖς προσβολαῖς τοῦ δολίου καὶ τῇ ῥαθυμίᾳ, στερέωσον τὴν καρδίαν μου Ἀγαθή, πρεσβείαις ταῖς μητρικαῖς σου ὅπως κἀγώ,

εὐχαρίστως κραυγάζω σοι· Θεογεννῆτορ Μαριάμ, ἐλέησον τὴν ποίμνην σου, ἣν ἐκτήσω Πανάμωμε.

*Ἢ Σταυροθεοτοκίον.*

Παριστμένη τῷ Σταυρῷ δακρυῤῥοοῦσα, ἐλεεινῶς ἡ Θεοτόκος ἀνεβόα· Ἀκατάληπτον ὄντως Υἱὲ τὸ πάθος σου, ού φέρω τῶν σπλάγχνων μου χωρισμόν, ού στέγω ὁρῶσά σε ἐν Σταυρῷ, μὴ παρίδῃς τὴν δούλην σου, ἀνάστα ἐκ τῶν νεκρῶν, δοξάζων με κραυγάζουσαν· Πολυέλεε δόξα σοι.

## *ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ξεναγεῖς προθυμότατα, δῆμον ἱερέων προσαπαύουσα, καὶ Χριστὸν ἐν τούτῳ τέρπουσα, τὸν δι' οἶκτον ξένον χρηματίσαντα.

Ἵνα κάλλος τὸ ἄφραστον, τοῦ πεποθημένου ἴδῃς Νυμφίου σου, Εὐπραξία κατεμάρανας, τῆς σαρκὸς τὸ κάλλος δι' ἀσκήσεως.

Νυσταγμὸν ἀπωσάμενοι, ψυχικὸν βλεφάρων κατεκοιμήσατε, τὰς κινήσεις τὰς τοῦ σώματος, ἱεραὶ παρθένοι δι' ἀσκήσεως.

*Θεοτοκίον.*

Σαρκωθέντα Σε Κύριον, ἐξ ἀπειρογάμου Κόρης ποθήσασαι, εἰς ὀσμὴν μύρου Σου ἔδραμον, αἱ τῷ Σῷ τρωθεῖσαι θείῳ ἔρωτι.

## *ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω*

Ἐκ πηγῶν ἀρδομένη, τοῦ τὴν οἰκουμένην παγχρύσοις διδάγμασιν, ἱεροῦ ποιμένος καταρδεύσαντος, στάχυν

ἐβλάστησας, ἐναρέτων πόνων Ὀλυμπιάς, δι᾽ οὗ ἐκτρέφεις τὰς καρδίας ἡμῶν τῶν τιμώντων σε.
Μακαρίαις ἐλπίσι, σοῦ τὴν παναοίδιμον ψυχὴν νευρώσασα, καὶ τροφῇ ἀΰλῳ τρεφομένη νοὸς καθαρότητι, ἡμερῶν πλειόνων, καρτερικῶς τὴν ἀσιτίαν Εὐπραξία ὑπήνεγκας χαίρουσα.
Νεκρωθεῖσαι τῷ κόσμῳ, ἐκληρονομήσατε ζωὴν ἀνώλεθρον, καὶ νυμφῶνος θείου ἠξιώθητε θεομακάριστοι, τὰς ὑμῶν λαμπάδας, τῷ τῆς ἀσκήσεως ἐλαίῳ, ἀκοιμήτοις τηρήσασαι πάνσεμνοι.

*Θεοτοκίον.*

Ὁ Θεοῦ Θεὸς Λόγος, μήτραν ἀπειρόγαμον θέλων κατῴκησε, καὶ βροτὸς ὡράθη, παρθενίαν τιμήσας καὶ γέννησιν, Ὃν ποθοῦσαι κόραι, ἀσκητικῶς καλλωπισθεῖσαι, ἠκολούθησαν τούτῳ γηθόμεναι.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Νεάζουσα, Εὐπραξία τοῖς πόνοις, προθυμίᾳ εὐσεβοῦς διανοίξας, τὸν παλαιὸν πτερνιστὴν κατεπάτει, ἐν ἀσθενεῖ γυναικείῳ τῷ σώματι, ἐνεῦρου γὰρ ταύτην Χριστός, τὴν ἡμῶν ὁ φορέσας ἀσθένειαν.
Ἐγκράτειαν, ταπεινώσει καρδίας, ἀγρυπνίαν εὐσυμπάθητον γνώμην, πίστιν ὀρθὴν καὶ τελείαν ἀγάπην, Ὀλυμπιὰς κτησαμένη ἡ ἔνδοξος, ἐγένετο ναὸς Θεοῦ, καὶ θαυμάτων πηγὴ ἀδαπάνητος.
Ξενώσασαι, ἑαυτὰς τῶν ἐν βίῳ, ἡδονῶν δι᾽ ἐπιδόσεων πόνων, ἀσκητικῶν, τὸν εἰς γῆν καταράντα, καὶ

ἐκουσίως σεμναὶ ξενιτεύσαντα, ἐκτήσασθε ἐν οὐρανοῖς, ξεναγοῦντα ὑμᾶς ἀξιάγαστοι.

*Θεοτοκίον.*

Ἀγνείας Σε, καὶ σεπτῆς παρθενίας, καθαρώτατον κειμήλιον Κόρη, ὁ πλαστουργός, εὑρηκὼς τοῖς Σοῖς λόγοις, τὴν παναγίαν Σου μήτραν κατῴκησε, καὶ ἅπασαν τοῦ δυσμενοῦς, ἐξ ἀνθρώπων κακίαν ἐξώρισεν.

*Κοντάκιον. Τῆς Ὁσίας Εὐπραξίας. Τῇ Ὑπερμάχῳ Στρατηγῷ.*

Τοὺς ὑπὲρ φύσιν Σου σεμνὴ πόνους καὶ σκάμματα, αὐτοὶ οἱ Ἄγγελοι, ἰδόντες κατεπλάγησαν, ἀνδρικῶς γὰρ τὸν ἀρχέκακον καθελοῦσα, θρασυνόμενον ματαίως τοῦτον ἤλεγξας, τῶν παγίδων οὖν αὐτοῦ ἡμᾶς ἐκλύτρωσαι, τοὺς κραυγάζοντας· Χαίροις Μῆτερ ἀοίδιμε.

*Κοντάκιον. Τῆς Ὁσίας Ὀλυμπιάδος. Ἦχος γ΄.*
*Ἐπεφάνης σήμερον.*

Εὐσεβείᾳ λάμψασα, καὶ ἐγκρατείᾳ, τὸν Θεὸν ἐδόξασας, ἔργοις καὶ τρόποις ἱεροῖς, Ὀλυμπιὰς ἀεισέβαστε, διὸ τῆς δόξης τῆς ἄνω ἠξίωσαι.

*Συναξάριον*

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ὁσίας Εὐπραξίας.

*Εὐπραξία πρόσεισι Χριστῷ πλουσία,*
*Πολλαῖς κομῶσα ψυχικαῖς εὐπραξίαις.*

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ὁσίας Ὀλυμπιάδος τῆς διακόνου.

*Ὀλυμπιὰς πεσοῦσα πατρίδος φίλης,*
*Πρὸς τὸν ἄνω χαίρουσα βαίνει πατρίδα.*

*Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Δόξης ῥεούσης τὴν ἀγήρω, ἀντηλλάξαντο αἱ Ὅσιαι προθύμως, ἧς τρυφῶσαι ἀεί, γηθόμεναι βοῶσιν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.
Ὢ πῶς ὑπήνεγκε τὴν στάσιν, ἀσιτίαν τε ἡμέρας ἐπὶ πλείους, Εὐπραξία Χριστῷ, βοῶσα τῷ Νυμφίῳ· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.
Μέγας σε σκεῦος θεωρήσας, Θείου Πνεύματος Ὀλυμπιὰς πλουσίως, τῶν μεγίστων αὐτοῦ, πληροῖ σε διδαγμάτων, πατριαρχῶν ὁ μέγιστος, χρυσολόγος μακαρία.

*Θεοτοκίον.*

Ἔλυσας μόνην τὴν κατάραν, τῆς προμήτορος τὸν πάντας εὐλογίαις, στεφανοῦντα Χριστόν, κυήσασα Παρθένε, ᾧ μελῳδοῦμεν Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η΄. Νικηταὶ τυράννου.*

Λογισμῷ Παρθένε, πάθη ἀλογώτατα καθυποτάττεις καὶ Νυμφίῳ Λόγῳ, ἐνυμφεύθης ἄμωμος ἁγνὴ βοῶσα· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
Οἱ ὑμῶν ἀγῶνες, τὸν τοῦ σκότους ἄρχοντα καταβαλλόντες, στέφος ἀφθαρσίας ὑμῖν προεξένησαν

καὶ παραδείσου, τὰς είσόδους κόραι καὶ θείαν ἀπόλαυσιν, ἐν ἀγαλλιάσει ψυχῆς είς τοὺς αἰῶνας.
Σταυρωθεῖσαι κόσμῳ, καὶ τῷ θείῳ ἔρωτι κατατρωθεῖσαι γεύσει ἐνηδόνῳ, τὸν τὴν Εὔαν τρώσαντα τῆς ἐγκρατείας, ἱεραὶ παρθένοι, βέλεσιν ἐτρώσατε, ἀνυμνολογοῦσι, Χριστὸν είς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἰησοῦν τεκοῦσα ἐξ ἁγνῶν αἱμάτων Σου σεσαρκωμένον, τὰς παρθένους πάσας ἐπεσπάσω Ἄχραντε παρθενομῆτορ, σὺν αὐταῖς βοῶσα· ὑμνεῖτε τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ὡραῖαι τοῦ Δεσπότου, εὔλαλοι τρυγῶνες, καὶ χελιδῶνες δειχθεῖσαι φιλόσεμνοι, πρὸς καλιὰς οὐρανίους μετεβιβάσθητε.
Συνήφθητε ταῖς ἄνω, νῦν χοροστασίαις, καὶ ἐκλεκτῶν ὁμηγύρει εὐφραίνεσθε, ὑπὲρ ἡμῶν δυσωποῦσαι τὸν φιλοικτίρμονα.
Ἡ μνήμη Εὐπραξίας, καὶ Ὀλυμπιάδος, καθάπερ ἥλιος κόσμῳ ἀνέτειλε, τὰς τῶν είσόδων διανοίας καταφαιδρύνουσα.

*Θεοτοκίον.*

Φωτὸς οὖσα δοχεῖον, φώτισον Παρθένε, τὴν σκοτισθεῖσαν Παρθένε τοῖς πάθεσι, καὶ ἐξωτέρου με σκότους ῥῦσαι πρεσβείαις Σου.